κατὰ τὸν Ἀρράβικον καλούμενον κόλπον. οὐκ ὀλίγαι δὲ μικραὶ περὶ τὰς Βρετανικὰς καὶ τὴν Ἰβηρίαν, κύκλῳ περιεστεφάνωνται τὴν οἰκουμένην ταύτην, ἣν δὴ νῆσον εἰρήκαμεν· ἧς πλάτος μέν ἐστι κατὰ τὸ βαθύτατον τῆς ἠπείρου, βραχὺ ἀποδέον τετρακισμυρίων σταδίων, ὥς φασιν οἱ εὖ γεωγραφήσαντες· μῆκος δὲ περὶ ἑπτακισμυρίους μάλιστα. διαιρεῖται δὲ εἴς τε Εὐρώπην, καὶ Ἀσίαν, καὶ Λιβύην. Εὐρώπη μὲν οὖν, ἐστὶν ἧς ὅροι κύκλῳ, στῆλαί τε Ἡρακλέους, καὶ μυχοὶ Πόντου, θάλαττά τε Ὑρκανία, καθ᾽ ἣν στενώτατος ἰσθμὸς εἰς τὸν Πόντον διήκει. τινὲς δὲ ἀπὸ τοῦ ἰσθμοῦ Τάναϊν ποταμὸν εἰρήκασιν. Ἀσία δέ, ἐστὶ τὸ ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ, τοῦ τε Πόντου, καὶ τῆς Ὑρκανίας θαλάσσης, μέχρι θατέρου ἰσθμοῦ, ὃς μεταξὺ κεῖται τοῦ Ἀρραβικοῦ κόλπου, καὶ τῆς ἔσω θαλάσσης, περιεχόμενος ὑπό τε ταύτης, καὶ τοῦ πέριξ ὠκεανοῦ. τινὲς δέ, τὸ ἀπὸ Ταναΐδος μέχρι Νείλου στομάτων τίθενται τὸν τῆς Ἀσίας ὅρον. Λιβύη δέ, τὸ ἀπὸ τοῦ Ἀρραβικοῦ ἰσθμοῦ, ἕως Ἡρακλέους στηλῶν· οἱ δέ, ἀπὸ τοῦ Νείλου φασίν, ἕως ἐκείνων, τὴν δὲ Αἴγυπτον, ὑπὸ τῶν τοῦ Νείλου στομάτων περιρρεομένην, οἱ μέν, τῇ Ἀσίᾳ· οἱ δέ, τῇ Λιβύῃ, προσάπτουσι· καὶ τὰς νήσους, οἱ μέν, ἐξαιρέτους ποιοῦσιν· οἱ δέ, προσνέμουσι ταῖς γειτόνων ἀεὶ μοίραις. γῆς μὲν δὴ καὶ θαλάττης φύσιν, καὶ θέσιν, ἥν τινα καλεῖν εἰώθαμεν οἰκουμένην, τοιάνδε τινὰ ἱστορήκαμεν.

Κεφάλαιον δ.

Περὶ δὲ τῶν ἀξιολογωτάτων ἐν αὐτῇ, καὶ περὶ αὐτὴν παθῶν, νῦν λέγωμεν, αὐτὰ τὰ ἀναγκαῖα ἀνακεφαλαιούμενοι· δύο γὰρ δή τινες ἀπ᾽ αὐτῆς ἀναθυμιάσεις ἀναφέρονται συνεχῶς εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα, λεπτομερεῖς καὶ ἀόρατοι παντάπασιν, εἰ μή τι κατὰ τὰς ἑῴας ἐστίν· αἵ τε διὰ ποταμῶν τε καὶ ναμάτων ἀναφερόμεναι θεωροῦνται. τούτων δέ, ἡ μέν, ἐστὶ ξηρὰ καὶ καπνώδης, ἀπὸ τῆς γῆς ἀπορρέουσα. ἡ δέ, νοτερὰ καὶ ἀτμώδης, ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιωμένη φύσεως. γίνονται δέ, ἀπὸ μὲν ταύτης, ὁμίχλαι, καὶ δρόσοι, καὶ πάγων ἰδέαι, νέφη τε καὶ ὄμβροι, καὶ χιόνες, καὶ χάλαζαι· ἀπὸ δὲ τῆς ξηρᾶς, ἄνεμοί τε καὶ πνευμάτων διαφοραί,

A hæc ad Arabicum ſinum. Sunt etiam non paucæ, ſed exiguæ, circa Britannicas & Iberiam, quæ quaſi corona cingunt hũc orbem, hominum domicilium, quem ſuperius inſulam eſſe diſſeruimus. Huius orbis latitudo quà continens eſt ampliſſima, paulò minus quadraginta millia ſtadiorum patet: vt quidem perhibuerunt authores rectæ & exquiſitæ geographiæ: longitudo ad ſeptuaginta millia. Diuiditur porro in Europam, Aſiam, & Africam. B Europa his finibus circumſcribitur: Herculis cippis, Ponti receſſu, Hircano mari: ſecundum quam anguſtiæ Iſthmi ſimiles ad Pontum vſque pertinent. Nonnulli tamen ab illo Iſthmo Tranain fluuium Europæ terminum eſſe dixerunt. Aſia eſt quicquid terræ ſitum eſt ab Iſthmo iam dicto, à Ponto Hircanóque mari, ad Iſthmum vſque alterum, qui Arabicum ſinum interiacet, & mare interius, illum C quidem cohibitum ab eo mari, & ab Oceano, qui eum complectitur ambitu. Sũt qui fines Aſiæ ſtatuant ſpatium, quod à Tanai protenditur ad Nili vſque oſtia. Africa ab Arabico Iſthmo ad columnas Herculis porrecta eſt: vel vt alij cenſuerunt ab Nilo. Nam Ægypti quicquid Nili oſtiis ſeptum eſt, alij Africæ, alij attribuunt Aſiæ. Inſuláſque tribus terræ partibus adiacentes, ſcriptorum partim vt e- D xemptiles ab orbe terrarum recenſuere: partim vt contributas iis partibus, quibus earum quæque vicinitate coniuncta eſt. Proinde terræ mariſque naturam ac ſitum huiuſcemodi prodenda cenſuimus: quem habitatum orbem appellare conſueuimus.

CAPVT IIII.

Qvas res autem tum in eo orbe, tum circa eum exiſtere contingit, qui- E bus ille rebus quodammodo afficiatur: earum ipſarum rerum, vt quæque maximè commemorandæ videbuntur, dicere porrò aggrediamur, ſummam quandam colligentes eorum quæ ſunt neceſſaria. Duas igitur exhalationes ab eo ſurſum ferri nouimus in aëra nobis impendentem: tenues illas quidem omnino, nec nobis conſpicuas: niſi ſiquid eſt huiuſcemodi ad tractus Orientales, & præterea F quę ex amnibus, & locis irriguis ſublimia ferri videntur. Earum autem exhalationum altera ſicca eſt, in fumúmque conformata, è terra manens: altera humida, roſidæ expirationis plena, ab humida natura exhalata. Ex hac nebulæ, rores, & gelu omne genus, nubes, pluuiæ, niues & grandines oriuntur. A ſicca auté illa venti & flatuum differentiæ exoriuntur,